Θρᾴκη Διόνυσος.

Λουκιανοῦ Θεῶν διάλογοι XVIII Ἥρας η Διός 248

„Ζεύς. Καὶ μὴν οὗτός γε ὁ δηλυμίτρης, ὁ ἀβρότερος τῶν γυναικῶν οὐ μόνον, ὦ Ἥρα, τὴν Λυδίαν ἐχειρώσατο καὶ τοὺς καθοικοῦντας τὸν Τμῶλον ἔλαβε καὶ θρᾷκας ὑπηγάγετο, ἀλλὰ καὶ ἐπὶ Ἰνδοὺς ἐλάσας τῷ γυναικείῳ τούτῳ τρόπῳ τοὺς τε ἐλέφαντας ἦλε καὶ τῆς χώρας ἐκράτησε καὶ τὸν βασιλέα πρὸς ὀλίγον ἀνθιστῆναι τολμήσαντα αἰχμάλωτον ἀπήγε, καὶ ταῦτα πάντα ἔπραξεν ὀρχούμενος ἅμα καὶ χορεύων θύρσοις χρώμενος καὶ πίτυνοις, μεθύων, ὡς φῆς, καὶ ἐνθεάζων.“

ΑΚΑΔΗΜΙΑ

3. . . Ὁ δὲ Ἀρσάκης (1) γηραιὸς γὰρ ἤδη καὶ νὴ Δί' οὐκ ἄσεμνος τὴν ὄψιν — ἐς τὸ βαρβαρικόν. ἤχθετο καὶ ἠγανάκτει πεζὸς βαδίζων καὶ ἠξίου τὸν ἵππον αὐτῷ προσαχθῆναι· καὶ γὰρ ὁ ἵππος αὐτῷ συνετεθνήκει, μιᾷ πληγῇ ἀμφότεροι διαπαρέντες ὑπὸ Θρᾳκός τινος πελταστοῦ ἐν τῇ ἐπὶ τῷ Ἀράξῃ πρὸς τὸν Καππαδόκην συμπλοκῇ. ὁ μὲν γὰρ Ἀρσάκης ἐπήλαυνεν, ὡς διηγεῖτο, πολὺ τῶν ἄλλων προεξορμήσας [ὑποστὰς] ὑποδὺς δὲ ὁ Θρᾷξ
440 τῇ πέλτῃ μὲν [ὑποδὺς] ἀποσείεται τοῦ Ἀρσάκου τὸν κοντόν, ὑποθεὶς δὲ τὴν σάρισαν αὐτόν τε διαπείρει καὶ τὸν ἵππον.

Λουκιανοῦ Νεκρικοὶ Διάλογοι XXVII. Διογένους Ἀντισθένους Κράτητος. 438. σ. 163

4. Ἀντισθένης. Πῶς οἷόν τε, ὦ Κράτης, μιᾷ πληγῇ τοῦτο γενέσθαι;

Κράτης. Ῥᾷστα ὦ Ἀντίσθενες· ὁ μὲν γὰρ ἐπήλαυνεν εἰκοσάπηχύν τινα προβεβλημένος κοντόν, ὁ Θρᾷξ δὲ ἐπεὶ τῇ πέλτῃ παρεκρούσατο τὴν προσβολὴν καὶ παρῆλθεν αὐτὸν ἡ αἰχμή, ἐς τὸ γόνυ ὀκλάσας δέχεται τῇ σαρίσῃ τὴν ἐπέλασιν καὶ τιτρώσκει τὸν ἵππον ὑπὸ τὸ στέρνον ὑπὸ θυμοῦ καὶ σφοδρότητος διαπείραντα ἑαυτόν· διελαύνεται δὲ ὁ Ἀρσάκης ἐκ τοῦ βουβῶνος διαμπὰξ ἄχρι ὑπὸ τὴν πυγήν."

(1) "ὁ Μηδίας ὕπαρχος."

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ